# ΕΚ ΤΩΝ ΛΥΣΙΟΥ.

## Α΄. Ἀπολογία ὑπὲρ τοῦ Ἐρατοσθένους φόνου.

### Ὑπόθεσις.

Εὐφιλήτου τινὸς Ἀθηναίου τὴν γυναῖκα ἐμοίχευεν Ἐρατοσθένης Οἰῆθεν· τοῦτον ἐπ' αὐτοφόρῳ λαβὼν Εὐφίλητος ἀπέκτεινε κατὰ τὸν νόμον τὸν ἐξεῖναι κελεύοντα τῷ ἐπ' αὐτοφόρῳ μοιχῷ χρῆσθαι ὅπως ἐθέλει τις· φεύγων δὲ δίκην φόνου ἀπολογεῖται ὁ Εὐφίλητος· τὸν δὲ λόγον συνέθετο Λυσίας ὁ ῥήτωρ.

§ 1. Περὶ πολλοῦ ἂν ποιησαίμην,[2] ὦ ἄνδρες, τὸ τοιούτους ὑμᾶς ἐμοὶ δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι, οἷοί περ ἂν[3] ὑμῖν αὐτοῖς εἴητε τοιαῦτα πεπονθότες.[4] Εὖ γὰρ οἶδ', ὅτι,[5] ἡ τὴν αὐτὴν γνώμην περὶ τῶν ἄλλων ἔχοιτε, ἥνπερ περὶ ὑμῶν αὐτῶν, οὐκ ἂν εἴη, ὅστις οὐκ[6] ἐπὶ τοῖς γεγενημένοις ἀγανακτοίη· ἀλλὰ πάντες ἂν περὶ τῶν τὰ τοιαῦτα[7] ἐπιτηδευόντων τὰς ζημίας μικρὰς ἡγεῖσθε. Καὶ ταῦτα οὐκ ἂν εἴη μόνον παρ' ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ' ἐν ἁπάσῃ τῇ Ἑλλάδι. Περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος καὶ ἐν δημοκρατίᾳ καὶ ὀλιγαρχίᾳ ἡ αὐτὴ τιμωρία τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδέδοται· ὥστε τὸν χείριστον τῶν αὐτῶν[8] τυγχάνειν τῷ βελτίστῳ. Οὕτως, ὦ ἄνδρες, ταύτην τὴν ὕβριν[9] ἅπαντες ἄνθρωποι δεινοτάτην ἡγοῦνται. Περὶ μὲν οὖν τοῦ μεγέθους τῆς ζημίας[10] ἅπαντας ὑμᾶς νομίζω τὴν αὐτὴν διάνοιαν ἔχειν, καὶ οὐδένα οὕτως ὀλιγώρως διακεῖσθαι,[11] ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν, ἢ μικρᾶς ζημίας ἀξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων αἰτίους· ἡγοῦμαι δέ, ὦ ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς ἐμοίχευεν Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμήν, καὶ ἐκείνην τε διέφθειρε, καὶ

---

§ 1. 2. Περὶ πολλοῦ ἂν ποιησαίμην.) Κατὰ περίφρασιν ἀντὶ τοῦ, μεγάλην φροντίδα ἔχω· πολὺ ἐπιθυμοῦν· παντὸς ἄλλου προτίμων· καὶ τὰ τοιαῦτα· τοιοῦτο δὲ καὶ τὸ περὶ πλείονος ποιοῦμαι, καὶ τὸ, περὶ πλείστου ποιοῦμαι. — 3. Οἷοί περ ἄν.) Ἐννοεῖται ἀπὸ κοινοῦ τὸ, ἐγίγνεσθε δικασταί. — 4. Εἴητε . . . πεπονθότες.) Εἰ τοιαῦτα ἐπάθατε. — 5. Εὖ γὰρ οἶδ' ὅτι.) Τὸ παρ' ἡμῖν Εἶμαι πεπληροφορημένος ὅτι. — 6. Οὐκ ἂν εἴη ὅς τις οὐκ.) Ἀντὶ ἕκαστος, πᾶς τις ἄν. — 7. Τὰ τοιαῦτα.) Οἷα δηλαδὴ Ἐρατοσθένης πρὸς τὴν Εὐφιλήτου γυναῖκα, μοιχεύων αὐτήν, ἐπετήδευεν. — 8. Τῶν αὐτῶν.) Ὑπακούεται Δικαίων. — 9. Ταύτην τὴν ὕβριν.) Ἣν δηλαδὴ ἐγὼ ὕβρισμαι, καὶ περὶ ἧς νῦν ἀγωνίζομαι. — 10. Τῆς ζημίας.) Ἀντὶ τῆς ὕβρεως, ἢ παρανομίας, ἤγουν περὶ τῆς ζημίας, ἧς ἄξιοι εἰσὶν οἱ τῶν τοιούτων ἔργων αἴτιοι. — 11. Οὕτως ὀλιγώρως διακεῖσθαι.) Οὕτω καταφρονεῖν δηλαδὴ τοῦ πράγματος.

τοὺς παῖδας τοὺς ἐμοὺς ᾔσχυνε, καὶ ἐμὲ αὐτὸν ὕβρισεν, εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. Καὶ οὔτε ἔχθρα[12] ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν, πλὴν ταύτης, οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι, οὔτε ἄλλου κέρδους οὐδενὸς,[13] πλὴν τῆς κατὰ νόμους τιμωρίας.

§ 2. Ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα, οὐδὲν παραλείπων, ἀλλὰ λέγων τἀληθῆ. Ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν, ἐὰν ὑμῖν εἰπεῖν δυνηθῶ ἅπαντα τὰ πεπραγμένα. Ἐγὼ γὰρ, ὦ ἄνδρες, ἐπειδὴ ἔδοξέ μοι γῆμαι, καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν, τὸν μὲν ἄλλον χρόνον οὕτω διεκείμην, ὥστε μήτε λυπεῖν μήτε λίαν ἐπ᾽ ἐκείνῃ εἶναι,[2] ὅ,τι ἂν θέλῃ ποιεῖν· ἐφύλαττόν τε ὡς οἷόν τε ἦν, καὶ προσεῖχον τὸν νοῦν,[3] ὥσπερ εἰκὸς ἦν. Ἐπειδὴ δέ[4] μοι παιδίον γίνεται, ἐπίστευον ἤδη, καὶ πάντα τὰ ἐμαυτοῦ ἐκείνῃ παρέδωκα, ἡγούμενος ταύτην οἰκειότητα[5] μεγίστην εἶναι. Ἐν μὲν οὖν τῷ πρώτῳ χρόνῳ, ὦ Ἀθηναῖοι, πασῶν ἦν βελτίστη· καὶ γὰρ οἰκονόμος δεινὴ, καὶ φειδωλὸς ἀγαθὴ, καὶ ἀκριβῶς πάντα διοικοῦσα. Ἐπειδὴ δέ μοι ἡ μήτηρ ἐτελεύτησε, πάντων τῶν κακῶν ἀποθανοῦσα αἰτία μοι γεγένηται. Ἐπ᾽ ἐκφορὰν γὰρ αὐτῇ[6] ἀκολουθήσασα ἡ ἐμὴ γυνὴ, ὑπὸ τούτου τοῦ ἀνθρώπου[7] ὀφθεῖσα, χρόνῳ διαφθείρεται. Ἐπιτηρῶν γὰρ τὴν θεράπαιναν τὴν εἰς τὴν ἀγορὰν βαδίζουσαν, καὶ λόγους προσφέρων, ἀπώλεσεν αὐτήν.

§ 3. Πρῶτον μὲν οὖν, ὦ ἄνδρες, (δεῖ γὰρ καὶ ταῦθ᾽ ὑμῖν διηγήσασθαι,) οἰκίδιον ἔστι μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω, κατὰ τὴν γυναικωνῖτιν[2] καὶ κατὰ τὴν ἀνδρωνῖτιν. Ἐπειδὴ δὲ τὸ παιδίον ἐγένετο ἡμῖν, ἡ μήτηρ αὐτὸ ἐθήλαζεν· ἵνα δὲ μὴ, ὁπότε λοῦσθαι δέοι, κινδυνεύῃ κατὰ τῆς κλίμακος καταβαίνουσα, ἐγὼ μὲν ἄνω διῃτώμην, αἱ δὲ γυναῖκες κάτω. Καὶ οὕτως ἤδη συνειθισμένον ἦν,[3] ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευδήσουσα

— 12. Καὶ οὔτα ἔχθρα.) Τὸ ἓν τῶν δυοῖν ἀρνητικῶν παρέλκει· κεῖται δὲ κατ᾽ ἐπίτασιν· ὡς εἰ ἔλεγε· καὶ οὔτε ἔχθρα ἦν τις οὐδεμία· ἐπιτατικώτερον διὰ τὸ γενικώτερόν τι δηλοῦν. — 13. Οὔτε ἄλλου κέρδους οὐδενός.) Τὸ Οὐδενὸς διὰ τὸ καθόλου προσετέθη ὡς ἐν τῷ Οὐδεμία εἴρηται.

§ 2. 2. Ἐπ᾽ ἐκείνῃ εἶναι.) Ὑπὸ τὴν ἐξουτίαν δηλαδὴ ἐκείνης, ἵνα ποιῇ ὅ,τι ἐκείνη ἐθέλει. — 3. Προσεῖχον τὸν νοῦν.) Παρ᾽ ἡμῖν δὲ παρέλκει ἡ αἰτιατικὴ, Προσεῖχον μόνον λέγουσιν· ἔστι δὲ κατ᾽ ἔλλειψιν· δηλ. τὸν νοῦν πρὸς ἐκείνῃ. — 4. Ἐπειδὴ δέ.) Χρονικὸν τὸ Ἐπειδὴ, κατ᾽ ἀνάλυσιν χρονικῆς μετοχῆς· ἀντὶ Γενομένου δέ μοι παιδίου. — 5. Ταύτην οἰκειότητα.) Τοῦτο μεγίστης οἰκειότητος εἶναι αἴτιον· τοῦτο πρὸς οἰκειότητα μέγιστον εἶναι· ἔνθα ἐλλείπει· Τὸ πιστεύειν τῇ γυναικί· καὶ παραδιδόναι αὐτῇ ἅπαντα, ἢ γοῦν τὸ παιδίον ἔχειν. — 6. Ἐπ᾽ ἐκφορὰν γὰρ αὐτῇ.) Ἠκολούθησε γὰρ ἡ ἐμὴ γυνὴ τῇ μητρὶ ἀποθανούσῃ φερομένῃ εἰς τὸν τάφον· τοῦτο δηλοῖ ἡ ἐκφορά. — 7. Ὑπὸ τούτου τοῦ ἀνθρώπου.) Τοῦ Ἐρατοσθένους δηλ.

§ 3. 2. Κατὰ τὴν γυναικωνῖτιν.) Οἰκίαν ἐννοεῖται. — 3. Συνειθισμένον ἦν.)

ΙΩΑΝΝΙΝΑ 2006

ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ, καὶ μὴ βοᾷ. Καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίνετο, καὶ ἐγὼ οὐδέποτε ὑπώπτευσα· ἀλλ᾽ οὕτως ἠλιθίως διεκείμην, ὥστε ᾤμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει. Προϊόντος δὲ τοῦ χρόνου, ὦ ἄνδρες, ἧκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ· μετὰ δὲ τὸν δεῖπνον, τὸ παιδίον ἐβόα, καὶ ἐδυσκόλαινεν, ὑπὸ τῆς θεραπαίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ. Ὁ γὰρ ἄνθρωπος ἔνδον ἦν (ὕστερον γὰρ ἅπαντα ἐπυθόμην) καὶ ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον, καὶ δοῦναι τῷ παιδὶ τὸν τιτθόν, ἵνα παύσηται κλαίων. Ἡ δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη με ἑωρακυῖα ἥκοντα διὰ χρόνου. Ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην, καὶ ἐκέλευον αὐτὴν ἀπιέναι, ἵνα σύ γε, ἔφη, πειρᾷς ἐνταῦθα τὴν παιδίσκην· καὶ πρότερον δὲ μεθύων εἷλκες αὐτήν. Κἀγὼ μὲν ἐγέλων· ἐκείνη δὲ ἀναστᾶσα καὶ ἀπιοῦσα προστίθησι τὴν θύραν,[4] προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλκεται. Κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος, οὐδ᾽ ὑπονοῶν, ἐκάθευδον ἄσμενος, ἥκων ἐξ ἀγροῦ. Ἐπειδὴ δὲ ἦν πρὸς ἡμέραν, ἧκεν ἐκείνη, καὶ τὴν θύραν ἀνέῳξεν. Ἐρομένου δέ μου, τί αἱ θύραι νύκτωρ ψοφοῖεν,[5] ἔφασκε τὸν λύχνον ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτόνων ἀνάψασθαι, ἐσιώπων ἐγώ, καὶ ταῦτα οὕτως ἔχειν ἡγούμην. Ἔδοξε δέ μοι, ὦ ἄνδρες, τὸ πρόσωπον ἐψιμιθιῶσθαι,[6] τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ᾽ ἡμέρας. Ὅμως δ᾽ οὐδ᾽ οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγματος, ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ.

§ 4. Μετὰ δὲ ταῦτα, ὦ ἄνδρες, χρόνου μεταξὺ διαγενομένου, καὶ ἐμοῦ πολὺ ἀπολελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοι τις πρεσβῦτις ἄνθρωπος, ὑπὸ γυναικὸς ἐπιπεμφθεῖσα, ἣν ἐκεῖνος ἐμοίχευεν, ὡς ἐγὼ ὕστερον ἤκουον· αὕτη δὲ[2] ὀργιζομένη, καὶ ἀδικεῖσθαι νομίζουσα, ὅτι οὐκ ἔτι ὁμοίως ἐφοίτα παρ᾽ αὐτήν, ἐφύλαττεν, ἕως ἐξεῦρεν ὅ,τι εἴη[3] τὸ αἴτιον. Προσελθοῦσα οὖν[4] μοι ἐγγὺς ἡ ἄνθρωπος τῆς οἰκίας τῆς ἐμῆς, ἐπιτηροῦσα,[5] Εὐφίλητε, ἔφη, μηδεμιᾷ πολυπραγμοσύνῃ προσεληλυθέναι με νόμιζε πρός σε. Ὁ γὰρ ἀνὴρ ὁ ὑβρίζων εἰς σὲ καὶ τὴν γυναῖκα τὴν σήν, ἐχθρὸς ὢν ἡμῖν τυγχάνει.[6] Ἐὰν οὖν λάβῃς τὴν θεράπαιναν τὴν εἰς τὴν ἀγορὰν βαδίζουσαν καὶ διακονοῦσαν ὑμῖν, καὶ βασανίσῃς, ἅπαντα πεύσῃ.

---

Ἐννοεῖται Ἡμῖν τοῦτο. — 4. Προστίθησι τὴν θύραν.) Ἔκλεισε δηλ. τὴν θύραν· καὶ τὴν κλεῖν ἔλαβε. — 5. Ψοφοῖεν) Ἀπὸ γὰρ παρῳχημένου τὰ ἐρωτηματικὰ πρὸς εὐκτικόν. — 6. Τὸ πρόσωπον ἐψιμιθιῶσθαι.) Ὅτι ἦν ἐψιμιθωμένη κατὰ τὸ πρόσωπον.

§ 4. 2. Αὕτη δέ.) Ἡ γυνὴ πέμψασα τὴν γραῦν· ὁ δὲ τοι Δὲ ἀντὶ τοῦ Γάρ. — 3. Ὅ,τι εἴη.) Καὶ τὰ ἀόριστα ἀπὸ παρῳχημένου πρὸς εὐκτικὸν φέρεται. — 4. Προσελθοῦσα οὖν.) Ἐγγὺς τῆς ἐμῆς οἰκίας προσελθοῦσά μοι ἡ ἄνθρωπος. — 5. Ἐπιτηροῦσα.) Θεωροῦσα περὶ αὐτήν. — 6. Ὧν . . . τυγχάνει.) Ἀντὶ τοῦ Ἐστί.

Ἔστι δέ, ἔφη, Ἐρατοσθένης Ὀῆθεν[7] ὁ ταῦτα πράττων, ὃς οὐ μόνον τὴν σὴν γυναῖκα διέφθαρκεν, ἀλλὰ καὶ ἄλλας πολλάς. Ταύτην γὰρ τὴν τέχνην ἔχει. Ταῦτα εἰποῦσα, ὦ ἄνδρες, ἐκείνη μὲν ἀπηλλάγη,[8] ἐγὼ δὲ εὐθέως ἐταραττόμην· καὶ πάντα μου εἰς τὴν γνώμην εἰσῄει.[9] Καὶ μεστὸς ἦν ὑποψίας, ἐνθυμούμενος μέν, ὡς ἀπεκλείσθην ἐν τῷ δωματίῳ, ἀναμιμνησκόμενος δέ, ὅτι ἐν ἐκείνῃ τῇ νυκτὶ ἐψόφει ἡ μέταυλος θύρα καὶ ἡ αὔλειος,[10] (ὃ οὐδέποτε ἐγένετο[11]) ἔδοξε δέ μοι ἡ γυνὴ ἐψιμμυθιῶσθαι. Ταῦτά μου πάντα εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν[12] ὑποψίας.

§ 5. Ἐλθὼν δὲ οἴκαδε, ἐκέλευον ἀκολουθεῖν μοι τὴν θεράπαιναν εἰς τὴν ἀγοράν. Ἀγαγὼν δ᾽ αὐτὴν ὡς τῶν ἐπιτηδείων τινά,[2] ἔλεγον, ὅτι ἐγὼ πάντα εἴην πεπυσμένος τὰ γινόμενα ἐν τῇ οἰκίᾳ. Σοὶ οὖν, ἔφην, ἔξεστι δυοῖν ὁπότερον βούλει ἑλέσθαι· ἢ μαστιγωθεῖσαν εἰς μύλωνα ἐμπεσεῖν,[3] καὶ μηδέποτε παύσασθαι κακοῖς τοιούτοις συνεχομένην, ἢ κατειποῦσαν ἅπαντα τἀληθῆ, μηδὲν παθεῖν κακόν, ἀλλὰ συγγνώμης παρ᾽ ἐμοῦ τυχεῖν τῶν ἡμαρτημένων. Ψεύσῃ δὲ μηδέν, ἀλλὰ πάντα τἀληθῆ λέγε. Κἀκείνη τὸ μὲν πρῶτον ἔξαρνος ἦν, καὶ ποιεῖν ἐκέλευεν ὅ,τι βούλομαι· οὐδὲν γὰρ[4] εἰδέναι· ἐπειδὴ δὲ ἐγὼ ἐμνήσθην Ἐρατοσθένους πρὸς αὐτήν, καὶ εἶπον, ὅτι οὗτος ὁ φοιτῶν εἴη[5] πρὸς τὴν γυναῖκα, ἐξεπλάγη, ἡγησαμένη με πάντα ἀκριβῶς ἐγνωκέναι. Καὶ τότε ἤδη πρὸς τὰ γόνατά μου πεσοῦσα, καὶ πίστιν παρ᾽ ἐμοῦ λαβοῦσα μηδὲν πείσεσθαι κακόν, κατηγόρει·[6] πρῶτον μὲν ὡς μετὰ τὴν ἐκφορὰν αὐτῇ προσίοι,[7] ἔπειτα ὡς αὐτὴ[8] τελευτῶσα εἰσαγγείλειε· καὶ ὡς ἐκείνη τῷ χρόνῳ πεισθείη, καὶ τὰς εἰσόδους, οἷς τρόποις[9] προσίοι· καὶ ὡς Θεσμοφορίοις[10] ἐμοῦ ἐν ἀγρῷ ὄντος, ᾤχετο εἰς τὸ ἱερὸν μετὰ τῆς μητρὸς

---

— 7. Οἶῆθεν.) Ὁ ἐκ τοῦ δήμου Οἴης. — 8. Ἀπηλλάγη.) Ἀνεχώρησεν. — 9. Εἰς τὴν γνώμην εἰσῄει.) Ἐλογιζόμην ἐκλ. πάντα. — 10. Ἡ μέταυλος θύρα καὶ ἡ αὔλειος.) Μέταυλος μὲν θύρα· φησὶν ὁ Βαρῖνος, ἡ τῆς ῥυπαρᾶς λεγομένης αὐλῆς, οὗ ὄρνιθες ἦσαν· αὔλειος δέ, ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. Ἁρποκρατίων δὲ Μέταυλος, ἡ μέση τῆς ἀνδρωνίτιδος καὶ τῆς γυναικωνίτιδος θύρα Ἀττικῶς· μέσαυλος δὲ Ἑλληνικῶς. — 11. Οὐδέποτε ἐγένετο.) Ἐννοεῖται Πρότερον. — 12. Μεστὸς ἦν.) Τὸ Ἦν πρωτοπροσωποῦν, παρατατικός, ἦν, ἦς, ἦ, καὶ ἦν.

§ 5. 2. Ὡς τῶν ἐπιτηδείων τινά.) Τὸ Ὡς ἀντὶ τῆς Πρός· ἤτοι πρός τινα τῶν φίλων καὶ συνήθων. — 3. Εἰς μύλωνα ἐμπεσεῖν.) Πρὸς γὰρ τοῖς ἄλλοις κολαστηρίοις καὶ ὁ μύλων ἦν· ὃ δὴ διὰ τὴν σκληρότητα οὐκ εὔφημον λέγειν φησὶ Πολυδεύκ. βιβλ. Α΄. κεφ. ή. ἀλλ᾽ ἀντὶ μύλωνα σιτοποιοὺς οἴκους ὀνομάζειν. — 4. Οὐδὲν γάρ.) Ἔλεγεν. Ἐννοεῖται. — 5. Ὅτι οὗτος . . . εἴη). Ἀπὸ γὰρ παρῳχημένου πρὸς εὐκτικὸν τὸ Ὅτι. — 6. Κατηγόρει.) Ἔλεγε δηλονότι κατὰ Ἐρατοσθένους πάντα διηγουμένη. — 7. Ὡς . . . προσίοι.) Πρὸς εὐκτικὸν τὸ Ὡς, ὅτι ἀπὸ παρῳχημένου· προσῄει δὲ ὁ Ἐρατοσθένης πρὸς τὴν θεράπαιναν. — 8. Αὐτή.) Ἡ Θεράπ. — 9. Οἷς τρόποις.) Δηλαδὴ ἔλεγεν ἡ Θεράπαινα καὶ τὰς τοῦ Ἐρατοσθένους εἰς τὴν ἐμὴν γυναῖκα εἰσόδους τοῦτ᾽ ἔστιν· οἷς τρόποις προσίοι εἰς τὴν ἐμὴν γυναῖκα. — 10. Θεσμοφορίοις.) Ἐν Θεσμοφορίοις· Ἑορτὴ δὲ ἦν τὰ Θεσμοφόρια ἐν Ἀθήναις Δήμητρος, ἣν ἡγοῦντο νομοδότειραν, θεσμοὺς γὰρ καὶ τοὺς νόμους ἔλεγον· ὅθεν καὶ τοὺς τῶν νόμων φύλακας θεσμοθέτας ἐκάλουν· ἐγίνετο δὲ

τῆς ἐκείνου· καὶ τἆλλα τὰ γενόμενα πάντα ἀκριβῶς διηγήσατο. Ἐπειδὴ δὲ πάντα εἴρητο αὐτῇ, εἶπον ἐγώ, ὅπως τοίνυν[11] ταῦτα μηδεὶς ἀνθρώπων πεύσεται· εἰ δὲ μή,[12] οὐδέν σοι κύριον ἔσται, τῶν πρὸς ἔμ' ὡμολογημένων·[13] ἀξιῶ δέ σε ἐπ' αὐτοφόρῳ ταῦτά μοι ἐπιδεῖξαι· ἐγὼ γὰρ οὐδὲν δέομαι λόγων· ἀλλὰ τὸ ἔργον[14] φανερὸν γενέσθαι, εἴπερ οὕτως ἔχει. Ὡμολόγει ταῦτα ποιήσειν. Καὶ μετὰ ταῦτα διεγένοντο ἡμέραι τέσσαραι ἢ πέντε,[15] ὡς ἐγὼ μεγάλοις ὑμῖν τεκμηρίοις ἐπιδείξω. Πρῶτον δὲ διηγήσασθαι βούλομαι τὰ πραχθέντα τῇ τελευταίᾳ ἡμέρᾳ.

§ 6. Σώστρατος ἦν μοι ἐπιτήδειος καὶ φίλος· τούτῳ ἡλίου δεδυκότος ἰόντι[2] ἐξ ἀγροῦ ἀπήντησα. Εἰδὼς δ' ἐγώ, ὅτι τηνικαῦτα ἀφιγμένος,[3] οὐδένα ἂν καταλήψοιτο οἴκοι τῶν ἐπιτηδείων, ἐκέλευον συνδειπνεῖν·[4] καὶ ἐλθόντες οἴκαδε ὡς ἐμέ,[5] ἀναβάντες εἰς τὸ ὑπερῷον ἐδειπνοῦμεν. Ἐπειδὴ δὲ καλῶς[6] αὐτῷ εἶχεν, ἐκεῖνος μὲν ἀπιὼν ᾤχετο,[7] ἐγὼ δὲ ἐκάθευδον. Ὁ δ' Ἐρατοσθένης, ὦ ἄνδρες, εἰσέρχεται· καὶ ἡ θεράπαινα ἐπεγείρασά με εὐθύς, φράζει, ὅτι ἔνδον ἐστί. Κἀγὼ εἰπὼν ἐκείνῃ ἐπιμελεῖσθαι τῆς θύρας, καταβὰς σιωπῇ ἐξέρχομαι, καὶ ἀφικνοῦμαι ὡς τὸν καὶ τόν· καὶ τοὺς μὲν ἔνδον κατέλαβον, τοὺς δὲ οὐκ ἐπιδημοῦντας εὗρον.[8] Παραλαβὼν δ' ὡς οἷόν τε ἦν πλείστους ἐκ τῶν παρόντων, ἐβάδιζον. Καὶ δᾷδας λαβόντες ἐκ τοῦ ἐγγυτάτου καπηλείου, εἰσερχόμεθα, ἀνεῳγμένης τῆς θύρας, καὶ ὑπὸ τῆς ἀνθρώπου παρεσκευασμένης. Ὤσαντες δὲ τὴν θύραν τοῦ δωματίου, οἱ μὲν πρῶτοι εἰσιόντες ἔτι εἴδομεν αὐτὸν κατακείμενον παρὰ τῇ γυναικί· οἱ δ' ὕστερον ἐν τῇ κλίνῃ γυμνὸν ἑστηκότα. Ἐγὼ δ', ὦ ἄνδρες, πατάξας καταβάλλω αὐτόν, καὶ τὼ χεῖρε περιαγαγὼν εἰς τοὔπισθεν, καὶ δήσας, ἠρώτων, διὰ τί ὑβρίζει, εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. Κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει, ἠντιβόλει δὲ καὶ ἱκέτευε μὴ αὐτὸν κτεῖναι, ἀλλ' ἀργύριον πράξασθαι.[9] Ἐγὼ δ' εἶπον· ὅτι οὐκ ἐγώ σε ἀποκτενῶ, ἀλλ' ὁ τῆς

---

ἡ ἑορτὴ αὕτη πενταήμερος κατὰ Πυανεψιῶνα, τὸν ἀντιπαραβαλλόμενόν πως τῷ νῦν Νοεμβρίῳ· ὅτε αἱ γυναῖκαις τρεῖς ἡμέρας ἐνήστευον μέχρις ἑσπέρας. — 11. Ὅπως τοίνυν.) Ἔχει ἐννοούμενον ἔξωθεν τὸ Ὅρα, ἢ σκόπει ὅπως ταῦτα. — 12. Εἰ δὲ μή.) Φυλάξῃς σιωπὴν δηλ. — 13. Τῶν πρὸς ἔμ' ὡμολογημένων.) Ὅσα πρὸς ἐμὲ ὡμολόγησας σύ, κἀγὼ πρὸς σέ. — 14. Ἀλλὰ τὸ ἔργον.) Ἀλλὰ δέομαι ἵνα τὸ ἔργον. — 15. Ἢ πέντε.) Ἐννοεῖται ἐλλείπουσα ἡ ἔννοια αὕτη· Καὶ ἐπ' αὐτοφόρῳ τὸν μοιχὸν ἔνδον ἔλαβον.

§ 6. 2. Ἰόντι.) Ἀντὶ Ἐπανιόντι, ἐπανήκοντι. — 3. Ἀφιγμένος.) Ἐννοεῖται ἐκ τοῦ ἀγροῦ, εἰς τὸ ἄστυ πρὸς τοὺς οἰκείους. — 4. Συνδειπνεῖν.) Ἐμοὶ δηλ. — 5. Ὡς ἐμέ.) Τὸ Ὡς ἀντὶ τῆς Πρός· τοῦ δὲ τόπου τὸ μὲν ὅλον ἐκφράζεσθαι ἐπιῤῥηματικῶς, τὸ δὲ μέρος προθετοπτώτως φιλεῖ. — 6. Ἐπειδὴ δὲ καλῶς.) Τὸ καθ' ἡμᾶς, Ἀφοῦ εὐχαριστήθη. — 7. Ἀπιὼν ᾤχετο.) Ἀνεχώρησε· παρέλκει δὲ τὸ Ἀπιὼν ἐν τῷ ᾤχετο. — 8. Οὐκ ἐπιδημοῦντας εὗρον.) Οὐχ εὗρον αὐτοὺς ἐν τοῖς οἴκοις. — 9. Ἀλλ' ἀργύριον πράξασθαι.) Ἀλλ' ἵνα ἀπαιτήσω χρήματα αὐτῷ· Εἰσπράττω γὰρ κατὰ σχῆμα ἐνεργητικὸν ἄνευ προθέσεως, ἀντὶ τοῦ Ἀπαιτῶ λαμβάνεται· φησὶ Βαρῖνος ἐν τῷ

Ε.Υ. Δημ. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

*πόλεως νόμος· ὃν σὺ παραβαίνων, περὶ ἐλάττονος τῶν ἡδονῶν ἐποίησας,*[10] *καὶ μᾶλλον εἵλου τοιοῦτον ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμήν, καὶ εἰς τοὺς παῖδας*[11] *τοὺς ἐμούς, ἢ τοῖς νόμοις πείθεσθαι, καὶ κόσμιος εἶναι.*

§ 7. Οὕτως, *ὦ ἄνδρες, ἐκεῖνος τούτων ἔτυχεν, ὧν περ καὶ οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας,*[2] *οὐκ εἰσαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ᾽ ἐπὶ τὴν ἑστίαν καταφυγών,*[3] *ὥσπερ οὗτοι*[4] *λέγουσι· πῶς γὰρ ἄν;*[5] *ὅστις ἐν τῷ δωματίῳ πληγεὶς κατέπεσεν εὐθύς· περιέστρεψα δ᾽ αὐτοῦ τὼ χεῖρε*[6], *ἔνδον δ᾽ ἦσαν ἄνθρωποι τοσοῦτοι, οὓς διαφυγεῖν οὐκ ἐδύνατο, οὔτε σίδηρον, οὔτε ξύλον, οὔτε ἄλλο οὐδὲν ἔχων, ᾧ τοὺς εἰσελθόντας ἂν ἠμύνατο.* Ἀλλ᾽, *ὦ ἄνδρες, οἶμαι καὶ ὑμᾶς εἰδέναι, ὅτι οἱ μὴ τὰ δίκαια πράττοντες, οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν τἀληθῆ· ἀλλ᾽ αὐτοὶ ψευδόμενοι, καὶ τὰ τοιαῦτα μηχανώμενοι, ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι.* Πρῶτον *μὲν οὖν ἀνάγνωθι*[7] *τὸν νόμον.* **Ν ό μ ο ς.** Οὐκ *ἠμφισβήτει, ὦ ἄνδρες, ἀλλ᾽ ὡμολόγει ἀδικεῖν· καὶ ὅπως μὲν μὴ ἀποθάνῃ ἠντιβόλει καὶ ἱκέτευε, ἀποτίνειν δ᾽ ἕτοιμος ἦν χρήματα.* Ἐγὼ *δὲ τῷ μὲν ἐκείνου τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον· καὶ ταύτην ἔλαβον τὴν δίκην,*[8] *ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε.* Καί *μοι ἀνάβητε τούτων μάρτυρες.* **Μ α ρ τ υ ρ ί α ι.** Ἀνάγνωθι *δέομαι καὶ τοῦτον τὸν νόμον ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου.* **Ν ό μ ο ς.** Ἀκούετε, *ὦ ἄνδρες, ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου πάγου,*[9] *ᾧ καὶ πάτριόν ἐστι, καὶ ἐφ᾽ ὑμῶν ἀποδέδοται τοῦ φόνου τὰς δίκας δικάζειν, διαῤῥήδην εἴρηται, τοῦτον μὴ καταγινώσκειν φό-*

---

Εἰσπράττω. — 10. Περὶ ἐλάττονος . . . ἐποίησας.) Καταφρονήσας προτιμήσας τὰς ἡδονάς. — 11. Τοὺς παῖδας.) Οὗτος δὲ εἷς ἦν, ἐπιμαρτήδιος ἔτι, ὡς προείρηται· τὸ δὲ πληθυντικὸν κατ᾽ ἔθος Ἀττικὸν ἐλέχθη.

§ 7. 2. Τοὺς . . . πράττοντας.) Ἐννοεῖται Τυγχάνειν τούτων· λέγει γάρ· Ἐάν τις μοιχὸν λάβῃ, ὅ,τι ἂν βούληται χρῆσθαι. — 3. Ἐπὶ τὴν ἑστίαν καταφυγών.) Τοὺς εἰς τὰ ἱερὰ καταφεύγοντας οὐκ ἠδίκουν· οὕτω δὲ καὶ ἡ ἐν οἴκοις ἑστία ὡς ἱερὸν τῆς Ἑστίας θεᾶς τοῦ πυρὸς ἄσυλον ἦν. — 4. Ὥσπερ οὗτοι.) Οἱ κατήγοροι δηλονότι, τοῦ Ἐρατοσθένους προσήκοντες. — 5. Πῶς γὰρ ἄν;) Ἐννοεῖται καταφύγοι ἐπὶ τὴν ἑστίαν. — 6. Τὼ χεῖρε.) Ἀττικῶς ἀντὶ Τὰ χεῖρε· τῶν γὰρ δυϊκῶν τὰ θηλυκὰ ἄρθροις ἔσθ᾽ ὅτε ἀρσενικοῖς συνάπτουσι. Τὼ χεῖρε τὼ ἡμέρα λέγοντες, οἱ Ἀθηναῖοι. — 7. Ἀνάγνωθι.) Πρὸς τὸν γραμματέα ἀποτείνεται. Ἦν γὰρ ἐν Ἀθήναις ἐν τοῖς δικαστηρίοις Γραμματεὺς ὃς ἀνεγίνωσκε τὰς μαρτυρίας, καὶ ψηφίσματα, καὶ ὅσα τοιαῦτα ἦσαν ἐν τῇ Πυκνί, τόπῳ ἔνθα ἐφυλάττοντο τὰ τοιαῦτα γράμματα. — 8. Ταύτην ἔλαβον τὴν δίκην.) Οὕτως ἐτιμωρησάμην αὐτόν· τὸ γὰρ Λαμβάνειν δίκην κατὰ περίφρασιν ἀντὶ τοῦ Τιμωρεῖσθαι, κατ᾽ ἐνεργητικὴν σημασίαν ἐστί. — 9. Τῷ ἐξ Ἀρείου πάγου.) Ὅς λέγει· Ἐάν τις ἀποκτείνῃ ἐν ἄθλοις ἄκων, ἢ ἐν ὁδῷ καθελών· ἢ ἐν πολέμῳ ἀγνοήσας, ἢ ἐπὶ δάμαρτι, ἢ ἐπὶ μητρί, ἢ ἐπὶ ἀδελφῇ, ἢ ἐπὶ θυγατρί, ἢ ἐπὶ παλλακῇ, ἥ, ἣν ἂν ἐπ᾽ ἐλευθέροις παισὶν ἔχῃ, τούτων ἕνεκα μὴ φεύγειν κτείναντα· ἐκ

νου, ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν, ταύτην τὴν τιμωρίαν[10] ποιήσηται. Καὶ οὕτω σφόδρα ὁ νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλακαῖς, ταῖς ἐλάττονος ἀξίαις, τὴν αὐτὴν δίκην ἐπέθηκε. Καίτοι δῆλον, ὅτι, εἴ τινα εἶχε[11] ταύτης μείζω τιμωρίαν ἐπὶ ταῖς γαμεταῖς, ἐποίησεν ἄν· νῦν δὲ οὐχ οἷός τε ὢν ταύτης ἰσχυροτέραν ἐπ᾽ ἐκείναις ἐξευρεῖν, τὴν αὐτὴν καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίνεσθαι. Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον. Νόμος. Ἀκούετε, ὦ ἄνδρες, ὅτι κελεύει, ἐάν τις ἄνθρωπον ἐλεύθερον, ἢ παῖδα, αἰσχύνῃ βίᾳ, διπλῆν τὴν βλάβην[12] ὀφείλειν· ἐὰν δὲ γυναῖκας, ἐφ᾽ αἷσπερ[13] ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι. Οὕτως, ὦ ἄνδρες, τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι ἢ τοὺς πείθοντας. Τῶν μὲν γὰρ[14] θάνατον κατέγνω, τοῖς δὲ[15] διπλῆν ἐποίησε τὴν βλάβην· ἡγούμενος, τοὺς μὲν διαπραττομένους βίαν, ὑπὸ τῶν βιασθέντων μισεῖσθαι· τοὺς δὲ πείσαντας, οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὥστ᾽ οἰκειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας, ἢ τοῖς ἀνδράσι, καὶ πᾶσαν ἐπ᾽ ἐκείνοις τὴν οἰκίαν γεγονέναι, καὶ τοὺς παῖδας ἀδήλους εἶναι, ὁποτέρων τυγχάνουσιν ὄντες, τῶν ἀνδρῶν, ἢ τῶν μοιχῶν. Ἀνθ᾽ ὧν ὁ τὸν νόμον τιθεὶς, θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν.

§ 8. Ὁμοῦ τοίνυν, ὦ ἄνδρες,[2] οἱ μὲν νόμοι οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες ταύτην τὴν δίκην λαμβάνειν. Ἐν ὑμῖν δ᾽ ἐστί,[3] πότερον χρὴ τούτους ἰσχυροὺς ἢ μηδενὸς ἀξίους εἶναι. Ἐγὼ μὲν γὰρ οἶδα πάσας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι, ἵνα, περὶ ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλθόντες σκεψώμεθα, ὅ,τι ἡμῖν ποιητέον ἐστίν. Οὗτοι τοίνυν παρὰ τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην δίκην λαμβάνειν παρακελεύονται, οἷς[4] ὑμᾶς ἀξιῶ τὴν αὐτὴν γνώμην ἔχειν. Εἰ δὲ μή,[5] τοιαύτην ἄδειαν τοῖς μοιχοῖς ποιήσετε, ὡς καὶ τοὺς κλέπτας ἐπαρεῖτε,[6] φάσκειν μοιχοὺς εἶναι· εὖ εἰδότας, ὅτι,

---

τῶν ἀριστοκρατικῶν Δημοσθ. — 10. Ταύτην τὴν τιμωρίαν.) Ἵνα τὸν μοιχὸν φονεύσῃ. — 11. Εἴ τινα εἶχε.) Ἐννοεῖται. Ἐπιτιθέναι. — 12. Διπλῆν τὴν βλάβην.) Οἱ νόμοι περὶ τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων, διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι. Δεινάρχ. ἐν τῷ Δημοσθ. — 13. Ἐὰν δὲ γυναῖκας ἐφ᾽ αἷς περ.) Ἐὰν δηλονότι αἰσχύνῃ βίᾳ γυναῖκας, ὧν ἐπὶ τῇ αἰσχύνῃ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς δηλονότι τῷ ἀποκτείνεσθαι, ἐνέχεσθαι κελεύει ὁ νόμος. — 14. Τῶν μὲν γάρ.) Ἐλλείπει Πεισάντων. — 15. Τοῖς δέ.) Βιασαμένοις.

§ 8. 2. Ὁμοῦ τοίνυν, ὦ ἄνδρες.) Πάντες δηλονότι ὁμοθυμαδὸν οἱ νόμοι, οὐ μόνον ἀποψηφίζονται λέγοντες· ὅτι οὐκ ἀδίκως, ἀλλὰ καί, καὶ τλ. — 3. Ἐν ὑμῖν δὲ ἐστί.) Ἐν τῇ ὑμετέρᾳ ἐξουσίᾳ ἐστὶ διορίσασθαι. — 4. Οἷς.) Νόμοις δηλ. — 5. Εἰ δὲ μή.) Ἔχετε τὴν αὐτὴν γνώμην· ὁρᾶτε ἵνα μὴ ποιήσητε. — 6. Ἐπαρεῖτε.) Ληφθέντες γὰρ ἐν οἰκίαις οἱ κλέπται, ἔχουσι λέγειν, ὅτι οὐκ εἰσὶ κλέπται, ἀλλὰ εἰσῆλθον εἰς τὴν οἰκίαν, ἐρῶντες ἢ τῆς γυναικὸς ἢ ἄλλου τινός.

ἐὰν ταύτην τὴν αἰτίαν περὶ ἑαυτῶν λέγωσι, καὶ ἐπὶ τούτῳ φάσκωσιν εἰς τὰς ἀλλοτρίας οἰκίας εἰσιέναι, οὐδεὶς αὐτῶν ἅψεται. Πάντες γὰρ εἴσονται, ὅτι τοὺς μὲν νόμους τῆς μοιχείας χαίρειν ἐὰν δεῖ, τὴν δὲ ψῆφον τὴν ὑμετέραν δεδιέναι. Αὕτη γάρ ἐστι πάντων τῶν ἐν τῇ πόλει κυριωτάτη.

§ 9. Σκέψασθε, ὦ ἄνδρες. Κατηγοροῦσι γάρ μου, ὡς ἐγὼ τὴν θεράπαιναν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετελθεῖν ἐκέλευσα τὸν νεανίσκον. Ἐγὼ δέ, ὦ ἄνδρες, δίκαιον ἐμὲ ἂν ποιεῖν ἡγούμην, ᾡτινιοῦν τρόπῳ τὸν τὴν γυναῖκα τὴν ἐμὴν διαφθείραντα λαμβάνων. Εἰ μὲν γὰρ λόγων εἰρημένων, ἔργου δὲ μηδενὸς γεγενημένου, μετελθεῖν ἐκέλευον[2] ἐκεῖνον, ἠδίκουν ἄν· εἰ δὲ ἤδη πάντων διαπεπραγμένων, καὶ πολλάκις εἰσεληλυθότος εἰς τὴν οἰκίαν τὴν ἐμήν, ᾡτινιοῦν τρόπῳ ἐλάμβανον αὐτόν, σωφρονεῖν ἐμαυτὸν ἡγούμην. Σκέψασθε δέ, ὅτι καὶ ταῦτα[3] ψεύδονται. Ῥᾳδίως δὲ ἐκ τῶνδε γνώσεσθε. Ἐμοὶ γάρ, ὦ ἄνδρες, (ὅπερ καὶ πρότερον) εἶπον φίλος ὢν Σώστρατος καὶ οἰκείως διακείμενος, ἀπαντήσας ἐξ ἀγροῦ περὶ ἡλίου δυσμὰς συνεδείπνει· καὶ ἐπειδὴ καλῶς εἶχεν αὐτῷ, ἀπιὼν ᾤχετο. Καί τοι πρῶτον μέν, ὦ ἄνδρες,[4] ἐνθυμήθητε, [ὅτι,] εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγὼ ἐπεβούλευον Ἐρατοσθένει, πότερον ἦν μοι κρεῖττον[5] αὐτῷ ἑτέρωθι δειπνεῖν, ἢ τὸν συνδειπνήσοντά με εἰσαγαγεῖν; Οὕτω γὰρ ἂν ἧττον ἐτόλμησεν ἐκεῖνος εἰσελθεῖν εἰς τὴν οἰκίαν. Εἶτα δοκῶ ἂν ὑμῖν, τὸν συνδειπνοῦντα ἀφεὶς, μόνος καταλειφθῆναι, καὶ ἔρημος γενέσθαι, ἢ κελεύειν ἐκεῖνον μένειν, ἵνα μετ' ἐμοῦ τὸν μοιχὸν ἐτιμωρεῖτο;[6] Ἔπειτα, ὦ ἄνδρες, οὐκ ἂν δοκῶ ὑμῖν, τοῖς ἐπιτηδείοις μεθ' ἡμέραν παραγγεῖλαι, καὶ κελεῦσαι αὐτοὺς συλλεγῆναι εἰς οἰκίαν τῶν φίλων τῶν ἐγγυτάτω μᾶλλον, ἤ, ἐπειδὴ τάχιστα ᾐσθόμην, τῆς νυκτὸς περιτρέχειν, οὐκ εἰδώς, ὅν τινα οἴκοι καταλήψομαι καὶ ὅν τινα ἔξω;[7] Καὶ ὡς Ἁρμόδιον[8] μὲν καὶ τὸν δεῖνα ἦλθον, οὐκ ἐπιδημοῦντας, (οὐ γὰρ ᾔδειν[9]) ἑτέρους δὲ οὐκ ἔνδον ὄντας κατέλαβον·[10] οὓς δ' οἷός τε ἦν λαβὼν ἐβάδιζον. Καί τοι γε, εἰ προῄδειν, οὐκ ἂν δοκῶ ὑμῖν καὶ θεράποντας παρασκευάσασθαι, καὶ τοῖς

---

§ 9. 2. Μετελθεῖν ἐκέλευον.) Τὸ Μετέρχομαι σημαίνει καὶ τὸ Πορεύομαι ἵνα ἀγάγω· ὅθεν δηλοῖ ἐνταῦθα ἐκέλευσα τὴν θεράπαιναν ἵνα πορευθεῖσα ἀγάγῃ· οὕτω καὶ Λουκιαν. Νεκρ. διάλ. Μενιπ. καὶ Ἑρμ. ἐγὼ δὲ ἄλλους ἤδη νεκροὺς μετελεύσομαι. — 3. Ὅτι καὶ ταῦτα.) Καὶ κατὰ ταῦτα ψεύδ. — 4. Καί τοι . . . . . ὦ ἄνδρες.) Ὁ Καί τοι συμπερασματικός. — 5. Πότερον ἦν μοι κρεῖττον.) Ὅ ἐστι Πότερον κρεῖττον ἦν ἵν' ἐγὼ ἑτέρωθι δειπνήσω, ἢ καὶ τλ. — 6. Ἵνα . . . ἐτιμωρεῖτο;) Ὁ Ἵνα φέρεται καὶ πρὸς ὁριστικὸν παρῳχημένον, ὅτε περὶ παρῳχημένου πράγματος ὁ λόγος, τελικὸς ὤν. — 7. Καὶ ὅν τινα ἔξω;) Μετ' ἐμοῦ δηλ. — 8. Καὶ ὡς Ἁρμόδιον.) Ἀντὶ προθέσεως τὸ Ὡς· ἐν δὲ τῷ Ἦλθον ὑπακούεται τὸ Τινάλως. — 9. Οὐ γὰρ ᾔδειν.) Ὅτι οὐκ ἐπεδήμουν. — 10. Οὐκ ἔνδον ὄντας κατέλαβον.) Οὐχ εὗρον δηλαδὴ αὐτοὺς

ΨΗΦΙΟΠΟΙΗΘΗΚΕ ΑΠΟ ΤΟ ΙΝΣΤΙΤΟΥΤΟ ΕΚΠΑΙΔΕΥΤΙΚΗΣ ΠΟΛΙΤΙΚΗΣ
Ε. Γ. Δάγκης Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

φίλοις παραγγεῖλαι, ἵν᾽ ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰσῄειν (τί γὰρ ᾔδειν, εἴ τι κἀκεῖνος εἶχε σιδήριον;) ὡς μετὰ πλείστων δὲ μαρτύρων τὴν τιμωρίαν ἐποιούμην; νῦν δ᾽ οὐδὲν εἰδὼς τῶν ἐσομένων ἐκείνῃ τῇ νυκτί,[11] οὓς οἷός τε ἦν παρέλαβον. Καί μοι ἀνάβητε τούτων μάρτυρες. Μαρτυρίαι. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· σκέψασθαι δὲ παρ᾽ ὑμῖν αὐτοῖς οὕτως περὶ τούτου τοῦ πράγματος, ζητοῦντες, εἴτις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα πώποτε, γεγένηται, πλὴν ταύτης. Οὐδεμίαν γὰρ εὑρήσετε. Οὔτε γὰρ συκοφαντῶν γραφάς με ἐγράψατο,[12] οὔτε ἐκβάλλειν ἐκ τῆς πόλεως ἐπεχείρησεν· οὔτε ἰδίας δίκας ἐδικάζετο, οὔτε συνῄδει κακὸν οὐδέν, ὃ ἐγὼ δεδιὼς μή τις πύθηται, ἐπεθύμουν αὐτὸν ἀπολέσαι. Οὔτε, εἰ ταῦτα διεπραξάμην, ἤλπιζον μὲν χρήματα λήψεσθαι· ἔνιοι γὰρ τοιούτων πραγμάτων ἕνεκεν θάνατον ἀλλήλοις ἐπιβουλεύουσι. Τοσούτῳ τοίνυν δεῖ ἡ λοιδορία,[13] ἢ παροινία, ἢ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε οὔτε ἑωρακὼς ἦν τὸν ἄνθρωπον πώποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. Τί ἂν οὖν βουλόμενος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰ μὴ τὸ μέγιστον τῶν ἀδικημάτων ἦν ὑπ᾽ αὐτοῦ ἠδικημένος; Ἔπειτα παρακαλέσας αὐτὸς μάρτυρας ἠσέβουν, ἐξόν μοι, εἴπερ ἀδίκως ἐπεθύμουν αὐτὸν ἀπολέσαι, μηδένα μοι τούτων συνειδέναι;

§ 10. Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταύτην γενέσθαι τὴν τιμωρίαν, ἀλλ᾽ ὑπὲρ τῆς πόλεως ἁπάσης. Οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες, οἷα τὰ ἆθλα πρόκειται τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τοὺς ἄλλους ἐξαμαρτήσουσιν, ἐὰν καὶ ὑμᾶς ὁρῶσι τὴν αὐτὴν[2] γνώμην ἔχοντας. Εἰ δὲ μή,[3] πολὺ κάλλιον τοὺς μὲν κειμένους νόμους ἐξαλεῖψαι, ἑτέρους δὲ θεῖναι, οἵτινες τοὺς μὲν φυλάττοντας τὰς ἑαυτῶν γυναῖκας ταῖς ζημίαις ζημιώσουσι, τοῖς δὲ βουλομένοις εἰς αὐτὰς ἁμαρτάνειν πολλὴν ἄδειαν ποιήσουσι. Πολὺ γὰρ οὕτω δικαιότερον ἢ ὑπὸ τῶν νόμων τοὺς πολίτας ἐνεδρεύεσθαι, οἳ κελεύουσι, μὲν ἐάν τις μοιχὸν λάβῃ, ὅ,τι ἂν βούληται χρῆσθαι· οἱ δ᾽ ἀγῶνες[4] δεινότεροι τοῖς ἀδικουμένοις καθεστήκασιν, ἢ τοῖς παρὰ τοὺς νόμους τὰς ἀλ-

---

οἶκοι. — 11. Ἐκείνῃ τῇ νυκτί.) Ἐν ἐκείνῃ τῇ νυκτί. — 12. Γραφάς με ἐγράψατο.) Γράφω σε γραφήν, κατηγορῶ σου ἐγγράφως ἐπὶ δημοσίων ἀδικημάτων· Γραφὴ γὰρ ἡ περὶ τῶν δημοσίων ἀδικημάτων κατηγορία, καὶ περὶ τῶν ἄλλων ἁμαρτημάτων· γίνονται δὲ γραφαὶ καὶ νόμων καὶ ψηφισμάτων, οὐκ ἐπιτηδείων εἰσκομίζεσθαι δοκούντων, αἵτινες γραφαὶ παρανόμων καλοῦνται. Βαρῖν. — 13. Δεῖ ἡ λοιδορία.) Τὸ Δεῖ ὥσπερ προσωπικὸν λαμβάνεται, ὅθεν καὶ τὸ ἀπαρέμφατον ὀνομαστικὴν ἐκ πρώτου περιέχει κατὰ τό, λέγεται, δοκεῖ, καὶ τὰ τοιαῦτα.

§ 10. 2. Τὴν αὐτήν.) Τοῖς νόμοις δηλ. — 3. Εἰ δὲ μή.) Τὴν αὐτὴν γνώμην ἔχετε. — 4. Οἱ δ᾽ ἀγῶνες.) Οἱ ἐν τοῖς δικαστηρίοις· τὸ δὲ Ἀγὼν σημαίνει καὶ τοὺς ἄθλους, καθ᾽ οὓς ἀγωνίζεταί τις· καὶ τὰ ἆθλα εἴτ᾽ οὖν τὰ βραβεῖα.

λοτρίας καταισχύνουσι γυναῖκας. Ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ σώματος, καὶ περὶ τῶν χρημάτων, καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω, ὅτι τοῖς τῆς πόλεως νόμοις ἐπειθόμην.

## Β΄. Ἐπιτάφιος τοῖς Κορινθίων Βοηθοῖς.

### Ὑπόθεσις.

Ὁ Κορινθιακὸς πόλεμος (Διόδ. Σικελ. βιβλ. ΙΔ΄, κεφ. πϛ΄.) ἐν τῇ Κορινθίων χώρᾳ ὑπὸ Ἀθηναίων, Θηβαίων, Ἀργείων, καὶ Κορινθίων πρὸς Λακεδαιμονίους καὶ τοὺς συμμάχους αὐτῶν γενόμενος, πρῶτον μὲν ἔσχε τὴν ἀρχὴν ὑπὸ φθόνου, εὐδοκιμοῦντος κατὰ τὴν Ἀσίαν Ἀγησιλάου καὶ Λακεδαιμονίων· καὶ τῶν Περσῶν παροξυνόντων, καὶ χρήματι διαφθειρόντων, ὅπως Ἀγησίλαος ἀναγκασθῇ τὴν Ἀσίαν καταλιπεῖν· ἔπειτα δὲ ἐπηκολούθησεν ἐκ τούτου, Κορίνθιοι γάρ τινες τόν τε φόνον πολλῶν πολιτῶν ἰδίων, ἅτε τῆς εἰρήνης φίλων, ὑπόπτων Ἀργείοις, καὶ ὅσοι τοῦ πολέμου αἴτιοι ἐγένοντο, καὶ τὴν τῶν συμμάχων τυραννίδα, μὴ φέροντες, πρὸς Λακεδαιμονίους μετέστησαν· κἀκ τούτου μᾶλλον ἐξήφθη ὁ πόλεμος. Ἡγοῦντο δὲ ἐν τῷ πολέμῳ τῷδε Ἀθηναίων μὲν Καλλίας, Πολύστρατος, Χαβρίας, Κόνων, ὧν πρῶτος Ἰφικράτης. Λακεδαιμονίων δὲ Ἀγησίλαος· ἐγένετο κατὰ τὴν ϞϚ΄ ὀλυμπιάδα πρὸ τοῦ ἡμετέρου ἔτους 393. δι' Ἀνταλκίδου, ὅτε ἡ ἀπατηλὴ εἰρήνη ἐκυρώθη μετὰ Ἀρταξέρξου τοῦ Μνήμονος. Ξενοφ. Ἑλλην. Δ΄. κεφ. η΄. Μετὰ δὲ τὴν διάφορον ταύτην μάχην εἶπε τὸν λόγον· ὑπὲρ ἑκατέρων Λυσίας κατὰ τὸ Ἀθηναίων ἔθος καὶ τοὺς οἱαδήποτε μάχῃ πεσόντας τῷ λόγῳ τούτῳ ἐνεκόμισε· καὶ τέλος εἰς τοὺς τῶν Κορινθίων βοηθοὺς καταντήσας, αὐτούς τε ὡς τὸ εἰκὸς ἐπῄνεσε, καὶ τοὺς συγγενεῖς παρηγόρησε.

§ 1. Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες, ἐπὶ τῷδε τῷ τάφῳ,[2] λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετὴν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν[3] ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν· ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος[4] οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν[5] ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. Ὅμως δὲ[6] ὁ μὲν λόγος μοι περὶ τούτων,[7] ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. Τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμέ-

---

§ 1. 2. Ἐπὶ τῷδε τῷ τάφῳ.) Σημειούσθω ὅτι ἐν τῷ Κεραμεικῷ ἔξω τοῦ ἄστεος τῶν Ἀθηνῶν, ἔνθα ἦσαν οἱ τάφοι πάντων τῶν ἐν πολέμῳ θανόντων, πλὴν τῶν ἐν Μαραθῶνι πεσόντων, ἐθεῶντο. — 3. Τοῖς ἐπαγγείλασιν.) Ὅσοι δηλονότι ἐκέλευσαν μὴ ἐπὶ πολὺν χρόνον δεῖν συντιθέναι τὸν λόγον, ὃς ὑπὲρ αὐτῶν λεχθήσεται. — 4. Τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος.) Τὸ Πᾶς προσδιορισμὸν δηλοῦν ἀνάρθρως λέγεται· ἐνάρθρως δὲ λεγόμενον ἐμφαντικώτερόν τε ἐστὶ, καὶ ἐπιτείνει τὸν προσδιορισμὸν ὡς ἐπίθετον λαμβανόμενον. — 5. Τὴν πρόσταξιν.) Διὰ τούτου σαφὲς γίνεται ὅτι καὶ τὸ Ἐπαγγέλλειν τὸ προστάξειν σημαίνει· ὃ γὰρ διὰ τὸ, ἐπαγγείλασιν εἴρηκε, τοῦτο διὰ τὸ, πρόσταξιν, ἐπεξηγήσατο. — 6. Ὅμως δέ.) Μεταβατικῶς οἱ σύνδεσμοι. — 7. Περὶ

ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006